TEZAUR LITURGIC

30 IANUARIE

GHEORGHIOS GALANOPOULOS

# SLUJBA SF.CUVIOASE EMILIA,NONA ŞI ANTUSA

## MAMELE SF.TREI IERARHI VASILE,GRIGORIE ŞI IOAN

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΩΝ ΑΓΙΩΝ ΜΗΤΕΡΩΝ

# ΤΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ

# ΝΟΝΑΣ, ΕΜΜΕΛΕΙΑΣ & ΑΝΘΟΥΣΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἐμμέλειαν ἔνδοξον πιστοί, χαίροντες τιμήσωμεν, ὅ,τι Βασίλειον ἔτεκε, καὶ Νόνναν ἔνθεον, τὴν τῷ Γρηγορίῳ, τεκούσῃ ὑμνήσωμεν, Ἀνθούσαν δ' Ἰωάννην Χρυσόστομον, ἀναβλαστήσασαν, ἐν ᾠδαῖς ἀνευφημήσωμεν, τὰς ἁγίας καὶ σεμνὰς μητέρας ἅπαντες.

Νηστείας τὸ στάδιον καλῶς, χαίροντες ἀνύσωμεν, καὶ τὸ λοιπὸν μιμησώμεθα, πρὸς θείαν μέθεξιν, τὰς σεμνὰς μητέρας, τῶν σοφῶν τῆς πίστεως, φωστήρων Βασιλείου τρισμάκαρος, καὶ Γρηγορίου τε, Ἰωάννου χρυσοῤῥήμονος, ἐν δεησει περάνασας βίου θάλασσαν.

Ἁπάσας τὰς θείας ἀρετάς, ἐκκαλιεργήσατε, καὶ τοῖς υἱοῖς μετεδώκατε, μητέρες πάνσεπτοι, πρὸς παιδαγωγίαν, καὶ Χριστοῦ μορφώσεως, καρδίαις διανοίαις αἰσθήσεσι, πίστιν εὐσέβειαν, καὶ ἀγάπην ἀνυπόκριτον, σὺν ἐλπίδι προσευχῇ καὶ ταπεινώσει τε.

Ἐν πόνοις ἀσκήσεως πολλοῖς, καὶ ἱδρῶσιν αἵματος, καὶ δακρυῤῥόοις δεήσεσιν, υἱοῖς ἐκθρέψατε, ἀρετῶν τὸν σπόρον, τούτοις ἐμφυτεύσασαι, ψυχῶν τὴν εὐκαρπίαν βραβεύσασαι, σοφὴ Ἐμμέλεια, καὶ Ὁσία Νόννα ἔνθεε, σὺν Ἀνθούσῃ διὸ μακαρίζεσθε.

*Δόξα. Τριαδικόν.*

Τριάδα ἀχώριστον πιστοί, πάντες προσκυνήσωμεν, Πατέρα Λόγον σὺν Πνεύματι, καὶ ταύτης ᾄσμασι, σὺν ψαλμοῖς τὸ κράτος, ἀνυμνολογήσωμεν, καὶ δόξαν ἣν οἱ Ἄγγελοι ᾄδουσι, λύσιν αἰτούμενοι, ὀφλημάτων καὶ τὸ ἄμετρον, θεῖον ταύτης καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν. Τὸ Δογματικὸν τοῦ ἤχου.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ὕμνοις Νόνναν σεμνήν, Ἐμμέλειαν τ’ Ἀνθούσαν, ὑμνήσωμεν τιμῶντες, τὴν τούτων θείαν μνήμην, λαοὶ ἐπαγαλλόμενοι.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ἅπασαν ἀρετήν, ἐκτήσασθε ἱδρῶσι, δακρύοις τε καὶ πόνοις, μητέρες ἐπὶ τέκνοις, ὑμῶν Θεὸν δοξάζουσαι.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Φάλαγγας τοῦ ἐχθροῦ, ἐλάσατε ἀγῶσι, νηστείαις καὶ εὐχαῖς τε, καὶ στέφη ὦ μητέρες, παρὰ Χριστοῦ ἐδέξασθε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἄνασσα Μαριάμ, ὁ γλυκασμὸς Ἀγγέλων, ὁ ἔπαινος Ὁσίων, ὑπὲρ τῶν σὲ ὑμνούντων, Υἱῷ Σου παρακλήθητι.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τὸ Ἀναστάσιμον τοῦ ἤχου.*

*Δόξα. Τῶν Ἁγίων. Τοὺς τρεῖς μεγίστους φωστῆρας.*

Τὰς τρεῖς Ἁγίας Μητέρας τῶν Διδασκάλων τιμήσωμεν, τὰς τοὺς Ἱεράρχας τεκούσας, καὶ τοῦ Χριστοῦ θεοκήρυκας, τὰς ποτισάσας εὐσεβείας τὸ γάλα, καὶ τὴν πίστιν ἔνδον τῇ ἐκθρεψάσῃ, τούτους ὡς δένδρα θάλλοντας, Ἐμμέλειαν τὴν θείαν, καὶ τὴν Νόνναν τὴν τρισμακάριστον, σὺν τῇ σεμνῇ τῇ Ἀνθούσῃ, τὴν ἐκπλήξασαν Λιβάνιον. Δεῦτε οἱ τῶν ἄθλων αὐτῶν μιμηταί, συνελθόντες ᾄσμασι μέλψωμεν, καὶ γὰρ αὐταὶ Τριάδι, ὑπὲρ ἡμῶν καθικετεύουσι.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τὸ α΄ Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους ι΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια· δ΄ Ἀναστάσιμα τοῦ ἤχου, γ΄ τῆς Ὑπαπαντῆς, καὶ γ΄ τῶν Ἁγίων. Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

Τί σὲ ὢ Ἐμμέλεια εἴπωμεν; Τὴν φιλότεκνον μητέραν, ἐπὶ τέκνοις θαυμαστοῖς, ἢ φιλόστοργον γυναίκαν, ἐπὶ ἔργοις ἱεροῖς; Τὸν Μέγαν γὰρ Βασίλειον ἐκύησας, σὺν Πέτρῳ καὶ Ναυκράτιον ἐθήλασας, Νύσσης Γρηγόριον πρόεδρον, Μακρίναν τε θεοφώτιστον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σὲ θεία Νόννα καλέσωμεν; Προσευχῆς θερμῆς μητέραν, ὡς Προφήτου Σαμουήλ, ἢ συμβίαν γλυκυτάτην, ὡς μηνύει Γαβριήλ; Τὸν πάνσοφον Γρηγόριον ἐβλάστησας, Καισάριον καὶ Γοργονίαν ἔθρεψας, τῆς εὐσεβείας τοῖς νάμασι, καὶ τοῖς τῆς πίστεως ὕδασιν, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σὲ νῦν Ἀνθοῦσα ὑμνήσωμεν; Ὡς Σεκούνδου τὴν συμβίαν, ἄρχοντος χριστιανοῦ, ἢ μητέραν Ἰωάννου, Χρυσοστόμου τοῦ σοφοῦ. Ὡς στήλην σωφροσύνης καὶ σεμνότητος, ὑπόδειγμα μητέρων καθαρότητος, ἀγάπης ἄνθος μυρίπνοον, καὶ στέφος δόξης ἀμάραντον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἡμέρα εὐφρόσυνος ἐπέλαμψε, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ κοινὴ ὁερτὴ αὕτη συνεστήσατο, πρὸς ἀγαλλίασιν τοῦ Χριστωνύμου λαοῦ. Δεῦτε οὖν τῶν Ὀρθοδόξων τὸ σύστημα, τιμήσωμεν ἐν ὕμνοις καὶ θεοτερπέσι μελῳδήμασι, τὴν μνήμην τῶν Ἁγίων Μητέρων, τῶν Τριῶν ἐνδόξων Ἱεραρχῶν. Ἰδοὺ γὰρ ἡ Θεοκυήτωρ Μαριάμ, προσέφερε τῷ Ἱερεῖ ἐν τῷ ἱερῷ, τὸν ἱερὸν αὐτῆς καρπόν, ἱεροπρεπεστάτως, γενομένη τῶν μητέρων τὸ πρότυπον. Ἀλλὰ καὶ αἱ εὐκλεεῖς Μητέρες, Ἐμμέλεια, Νόνα καὶ Ἀνθοῦσα, καρπογονήσασαι τῇ προσευχῇ, καὶ τοῖς δακρύοις προσήγαγον ἀσμένως τῷ Θεῷ, τὰ πιστὰ αὐτῶν τέκνα, τεθραμμένα τῆς εὐσεβείας τῷ γάλακτι, ὡς θυσίαν

καθαράν, ἀμίαντον καὶ εὐπρόσδεκτον, πρὸς ἃς χαρμονικῶς ἐκβοήσωμεν· χαίρετε, Μητέρες σεμναί, τὰ θεόθεν παραδείγματα ἐπὶ τέκνοις, υἱοῖς καὶ θυγατράσι, τοῖς συμβίοις εὐπειθεῖς, καὶ τῶν πιστῶν πρέσβεις θερμαί, καὶ ταχυναὶ ἀντιλήπτορες. Διὸ ἱκετεύσατε, δεόμεθα Χριστόν, ὑπὲρ τῶν τιμώντων πανευλαβῶς, τὴν ἀειμακάριστον ὑμῶν μνήμην, καταπέμψαι πᾶσιν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον τοῦ ἤχου.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.

Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα', λα΄. 10. -20, 25)*

Γυναῖκα ἀνδρείαν τὶς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε

βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

*Λιτή. Ἦχος α΄.*

Ἀγάλλου ἐν Κυρίῳ, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἐπὶ τῇ θείᾳ μνήμῃ σήμερον, τῶν εὐκλεῶν Μητέρων, Ἐμμελείας, Νόννης καὶ Ἀνθούσης, τῶν Τριῶν Ἱεραρχῶν. Αὗται γὰρ αἱ τρισμακάριαι, ἐβλάστησαν θεόφυτα τέκνα, ἀναθρέψασαι πιστῶς αὐτά, ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, καὶ ὁσιακῶς βιώσασαι, ἔλιπον τὴν πρόσκαιρον ἐπίπονον ζωήν, πορευθῆσαι εἰς τὴν οὐράνιον πατρίδαν, ἔνθα πρεσβεύουσιν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Δεῦτε τῶν Χριστιανῶν ἡ ὁμήγυρις, καταστέψωμεν θείοις ὕμνοις, τῶν σεμνῶν Μητέρων τὸν χορόν, ἃς ἔστεψεν ὁ πολυέλεος Θεός, ἀμαραντίνῳ στεφάνῳ. Ὅ,τι ἐν νηστείαις καὶ δεήσεσι, πολιτευσάμεναι εὐσεβῶς,

ἐξιλέωσαν τὸν Κτίστην καὶ Δεσπότην, καὶ τῇ Ἐκκλησίᾳ ἔδωκαν καρποὺς πανευκλεεῖς, τοὺς γεωργηθέντας βότρυας, ἐν τῷ μυστικῷ τοῦ Χριστοῦ ἀμπελῶνι, πανσόφους Οἰκουμενικοὺς Διδασκάλους, καὶ Ἱεράρχας ἀγλαοφανεῖς, τὸν Μέγαν Βασίλειον, τὸν Θεολόγον Γρηγόριον, καὶ τὸν Χρυσόστομον Ἰωάννην. Ὅθεν αὐταῖς μακαρίζοντες σήμερον, ἐξαιτούμεθα πιστῶς, τὰς θεοπειθεῖς πρὸς τὸν Σωτῆρα τούτων παρακλήσεις, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε πιστῶν ἡ λαμπρὰ ὁμήγυρις, καὶ τῶν φιλεόρτων τὰ συστήματα, συνελθόντες ἐν πίστει, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, τὰς τοῦ Χριστοῦ γνησίας θεραπαινίδας, τὰς Μητέρας τῶν Τριῶν Ἱεραρχῶν, Ἐμμέλειαν, Νόνναν καὶ Ἀνθοῦσαν. Καὶ πρὸς αὐτὰς ἐκβοήσωμεν χαρμονικῶς, κοινὴν ἑορτὴν ἐπιτελοῦντες καὶ φωτοφόρον πανήγυριν, τῆς πανενδόξου μνήμης αὐτῶν. Εὔσπλαγχνε Κύριε, παράσχου τῷ λαῷ Σου, ἱκεσίαις τῶν Ἁγίων Μητέρων, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, σήμερον τῷ θείῳ Ἱερῷ κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις, καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς, ὡς ζεῦγος τρυγόνων τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν

νεόλεκτον λαόν, περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς. Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών, τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον, Θεοτόκον Μαρίαν, τὰ τοῦ πάθους σύμβολα τοῦ ἐξ αὐτῆς προηγόρευσε, καὶ παρ' αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· Νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι, ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον τοῦ Χριστωνύμου λαοῦ.

*Εἰς τὸν Στίχον, τὰ Ἀναστάσιμα τοῦ ἤχου.*

*Δόξα. Ἦχος β΄.*

Σήμερον συνήγαγεν ἡμᾶς, εἰς ἑστίασιν πνευματικῆς εὐφροσύνης, ἡ κοινὴ φωτοφόρος καὶ πανένδοξος μνήμη, τῶν Ὁσίων Μητέρων τῶν Τριῶν Ἱεραρχῶν, Ἐμμελείας, Νόννης καὶ Ἀνθούσης. Δεῦτε οὖν φιλέορτοι, τούτων ἀνυμνοῦντες τὰς θείας ἀρετάς, μιμησώμεθα ἀκριβῶς τὸν τρόπον, τὴν συζυγικὴν πίστιν, τῶν τέκνων τὸ φιλόστοργον, καὶ τὴν θεοφιλῆ αὐτῶν διαγωγήν, ἵνα γέννηται καὶ ἡμῖν ἵλεως, ὁ πολυεύσπλαγχνος Θεός, ἐν τῇ φοβερᾷ καὶ φρικτῇ ἡμέρᾳ, τῆς δικαίας Αὐτοῦ ἀνταποδόσεως.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Ὅνπερ οἱ ἄνω Λειτουργοὶ τρόμῳ λιτανεύουσι, κάτω νῦν ὁ Συμεών, ὑλικαῖς ἀγκάλαις δεχόμενος, τὸ θεῖον τοῖς ἀνθρώποις ἑνοῦσθαι ἐκήρυττε, καὶ βροτὸν τὸν οὐράνιον Θεὸν ὀπτανόμενος, ἀναχωρῶν τῶν ἐπὶ γῆς,

χαρμονικῶς ἀνέκραζεν, ὁ τοῖς ἐν σκότει τὸ ἀνέσπερον φῶς ἀποκαλύπτων, Κύριε δόξα σοι.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τὸ Ἀναστάσιμον τοῦ ἤχου.*

*Δόξα. Τῶν Ἁγίων. Τοὺς τρεῖς μεγίστους φωστῆρας.*

Τὰς τρεῖς Ἁγίας Μητέρας τῶν Διδασκάλων τιμήσωμεν, τὰς τοὺς Ἱεράρχας τεκούσας, καὶ τοῦ Χριστοῦ θεοκήρυκας, τὰς ποτισάσας εὐσεβείας τὸ γάλα, καὶ τὴν πίστιν ἔνδον τῇ ἐκθρεψάσῃ, τούτους ὡς δένδρα θάλλοντας, Ἐμμέλειαν τὴν θείαν, καὶ τὴν Νόνναν τὴν τρισμακάριστον, σὺν τῇ σεμνῇ τῇ Ἀνθούσῃ, τὴν ἐκπλήξασαν Λιβάνιον. Δεῦτε οἱ τῶν ἄθλων αὐτῶν μιμηταί, συνελθόντες ᾄσμασι μέλψωμεν, καὶ γὰρ αὐταὶ Τριάδι, ὑπὲρ ἡμῶν καθικετεύουσι.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.*

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν, τὸ Ἀναστάσιμον Κάθισμα.*

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῶν Ἁγίων. Ἦχ. δ΄. Κατεπλάγη Ἰωσήφ.*

Τὰς μητέρας τὰς σεπτάς, τῶν εὐκλεῶν Ἱεραρχῶν, ἀνυμνήσωμεν πιστῶς, δοξολογοῦντες τὸν Χριστόν, ὃς ἀντεδόξασε ταύτας, μετὰ τῶν τέκνων, ὁσίως ἐν εὐχῇ, καὶ εὐλαβείᾳ πολλῇ, ἐκάθηραν ψυχήν, ταῖς ἀρεταῖς δεκτικήν, πολιτευσάμεναι καλῶς ἐν βίῳ, καὶ νουθετοῦσαι τὰ τέκνα, σωφρόνως εὖ ζῆν, Χριστὸν δ’ ἀπαύστως νῦν δυσωποῦσιν, ὑπὲρ τῶν τιμώντων αὐτάς.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Νηπιάζει δι' ἐμέ, ὁ Παλαιὸς τῶν ἡμερῶν, καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός, ἵνα τὴν σάρκα πιστώσῃ μου, τὴν ἐκ Παρθένου. Καὶ ταῦτα Συμεὼν μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν φανέντα σαρκί, καὶ ὡς ζωὴν ἠσπάζετο, καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν· Ἀπόλυσόν με· σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων.

Εἰς τοὺς Κανόνες· ὁ Ἀναστάσιμος, τῆς Ὑπαπαντῆς, καὶ τῶν Ἁγίων Μητέρων, οὗ ἡ ἀκροστιχίς: *Μητέρας Τριῶν Ἱεραρχῶν ὑμνῶ. Γεωργίου.*

*Ὠδὴ α΄. Ἦχος γ΄. Χέρσον ἀβυσσοτόκον.*

Μέγας οὐρανοφάντωρ μύστης ἔλαμψεν, ὁ Βασίλειος ἐκ σοῦ, ὦ Ἐμμέλεια Ὁσία, καταυγάσας τὰ πλήθη, λαοὺς πανσόφως τ’ ὁδηγήσας, πρὸς θείαν γνῶσιν μέλποντα· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ἤθη τὰ ψυχοφθόρα καὶ ἀλλόδοξα, καταπράϋνε ταχύ, ὁ ἐκ Νόννης ἐξανθήσας, ὡς πολύφορον κλῆμα, σοφὸς θαυμαστὸς Θεολόγος, ὃν ὕμνοις μεγαλύνομεν· τοῦτον ταῖς νουθεσίαις Κυρίου, μήτηρ ἔθρεψεν.

Τόκος ἐκ τῆς Ἀνθούσης θεῖος ἔφανεν, ὁ Χρυσόστομος Πατήρ, Ἰωάννης χρυσοῤῥήμων, τοῦ Σεκούνδου ὁ σπόρος, λαοῖς πιστεύειν ἐκδιδάσκων, Θεὸν τὸν πολυεύσπλαγχνον· μέλψωμεν οὖν μητέρα, τὴν τούτου τρισμακάριστον.

*Θεοτοκίον.*

Εὔας προγονικὴν κατάραν ἔλυσας, Θεοτόκε Μαριάμ, Θεὸς Λόγος γὰρ ἀῤῥήτως, ἐν γαστρί Σου σκηνώσας, ἑκὼν ἡμῖν συνανεστράφη, καὶ σωτηρίας ἤνοιξε, Πύλην Σε κεκλεισμένην, ὡς Ἡσαΐας προὔφησεν.

*Ὠδὴ γ΄. Τὸ στερέωμα.*

Ῥόδον εὔοσμον, μήτηρ τῇ τέκνων δεκάδι, Ἐμμέλεια ἤνθησας ἐν Καισαρείᾳ, καὶ ὁσίως, τὸν σὸν βίον ἐτέλεσας.

Ἀνεβλάστησας, καρπὸν εὐχῆς θεία Νόννα, Γρηγόριον μέγιστον ἀρχιεράρχην, ἀναθρέψας, εὐσεβείας τῷ γάλακτι.

Στήλη γέγονας, σωφροσύνης, ὦ Ἀνθοῦσα, σεμνότητος, ἔνδυμα στολισαμένη, τὴν χηρείαν, καρτερῶς ὑπομείνασα.

*Θεοτοκίον.*

Τῆς ἁγνότητος, Περιστερὰν ἐν συμβόλοις, Θεὸν Λόγον τέξασαν, ἀπειρογάμως Θεοτόκον, οἱ πιστοὶ μεγαλύνομεν.

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἐμμέλειαν πιστοί, Βασιλείου μητέραν, ἐκλάμψασαν λαμπρῶς, καὶ ὁσίως τὸν βίον, νηστείαις δεήσεσιν, ἀρεταῖς καλλωπίσασαν, σὺν τῇ Νόννῃ τε, καὶ τῇ σεμνῇ τῇ Ἀνθούσῃ, δεῦτε μέλεσιν, ἀνευφημήσωμεν πάντες, χορείαν στησάμενοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθη, καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος, ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων ἔλεγε· Νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου.

*Ὠδὴ δ΄. Ἐκάλυψεν οὐρανοῖς.*

Ῥαπίσματα ἠχηρά, τοῖς ἀτακτοῦσι παισί, πρὸς νουθεσίας ὁρισμόν, δίδωσιν αἱ μητέρες, ἀλλ' Ἐμμέλεια οὐ, παισί τε καὶ θυγατρᾶσιν, ὅτι τῇ πίστει, ταῦτα ἐγαλούχησε, καὶ τὴν εὐσέβειαν τέκνοις, ὀρθῶς ἐδίδαξε.

Ἱλέωσας προσευχαῖς, καὶ ἀγρυπνίαις πολλαῖς, Θεὸν εὐΐλατον κλαυθμῷ, Νόννα ἱερωτάτῃ, Γρηγορίου γυνή, καὶ ἀγαθαῖς σου πράξεσιν, μήτηρ τοῖς πᾶσιν, ἀντίληψιν γέγονας, τοῖς δεομένοις καὶ τέκνα, πιστῶς ἐξέθρεψας.

Ὡράϊσμα ἐκλεκτὸν τῆς σωφροσύνης σεμνή, καὶ παιδοτρίβις ἐκλεκτή, τῆς εὐσεβείας ὤφθης, Ἰωάννου υἱοῦ, μονογενοῦς ὑπάρχοντος, μῆτερ Ἀνθοῦσα, ὅνπερ εἰς Λιβάνιον, παραδοθέντα, τῇ γλώττῃ χρυσοῦς ἐξέλαμψε.

*Θεοτοκίον.*

Νενέκρωται ἀληθῶς, τῶν Πρωτοπλάστων δορά, τῇ παραβάσει τοῦ Θεοῦ, τρυφῆς ἀποικισθέντων, σὺν τῇ Εὔᾳ Ἀδάμ, σὺ δὲ Ἀδὰμ τὸν δεύτερον, Κόρη τεκοῦσα, γένος ἐπανήγαγες, εἰς Παραδείσου τὸν οἶκον· διὸ ὑμνοῦμέν Σε.

*ᾨδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας συμβολικῶς.*

Ἱέρευσαν υἱοί σου θεοπρεπῶς, καὶ θρόνοις Ἱεράρχαι Χριστοῦ, γεγονότες δόξης κατακοσμούμενοι, τῇ γλώττῃ καὶ ἔργοις γραπτοῖς, Ἐκκλησίαν κατεπύρσευσαν φωτί, Ἐμμέλεια μῆτερ· διό σε μακαρίζομεν.

Ἐπέλαμψε Γρηγόριος σὸς υἱός, ὦ Νόννα οἰκουμένης ἀστήρ, ἐν σοφίᾳ πλήρῃ θεοειδέστατος, διδάσκων, φωτίζων πιστούς, καὶ αἱρέσεις τῇ μαχαίρᾳ ἐκτεμών, πιστὴ Γοργονία, ἰατρός τε Καισάριος.

Ῥητόρων διδασκάλων γνῶσιν λαβών, παιδείαν Ἰωάννη μητρός, εὐσεβείας λόγοις καταρδευόμενος, τὰ κρείττω ἐδέξω σοφέ, ὑπ’ Ἀνθούσης γυναικὸς χριστιανῆς, σεμνῆς ἡρωΐδος, τὴν χηρείαν βαστάσασα.

*Θεοτοκίον.*

Ἀφράστως ὑποδέχει Κόρη ἁγνή, γαστρί Σου παναφθόρῳ Υἱόν, τοῦ Ἀγγέλου λέξαντος τὰ παράδοξα, πῶς μήτηρ, ἀνδρὸς οὐ σπορά, ἀποκρίνει, γενήσεσθαι ἀπορῶ, ἡ δούλη Κυρίου, γενηθήτω ἀλλ’ ὡς εἴρηκας.

*ᾨδὴ στ΄. Ἐβόησέ σοι ἰδὼν ὁ Πρέσβυς.*

Ῥαθυμοτόκος, οὐδ’ ἀνεδείχθης, ἐπὶ τοῖς υἱοῖς ὦ Ἐμμέλεια, ἀλλ’ οὐδὲ Μακρίνῃ, ἃ ψυχαῖς Χριστὸν ἐμορφώσω.

Χειροτονίαν, ἰδοῦσα Νόννα, τοῦ Γρηγορίου ἠγάλλετο, ὅτι ὁ καρπὸς τῆς ἐκ Θεοῦ, Θεῷ ἀνετέθη.

Ὡραιοτάτη, Ἀνθοῦσα σώφρων, τὴν παρθενίαν ἐφύλαξε, καὶ τῷ Ἰωάννῃ, μητρικῇ στοργῇ συνεδέθη.

*Θεοτοκίον.*

Νενεκρωμένας, ψυχῆς μου Κόρη, τοὺς ὀφθαλμοὺς νῦν διάνοιξον, ἡ ἀποτεκοῦσα, τὸ ἀνέσπερον Φῶς ἀῤῥήτως.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τῶν Μητέρων σήμερον, λάμπει ἡ μνήμη, δεῦτε οὖν φιλέορτοι, ἐγκωμιάσωμεν αὐτάς, χαίροις Ἐμμέλεια κράζοντες, σὺν θείᾳ Νόννῃ, Ἀνθοῦσα πανεύφημε.

*Ὁ Οἶκος.*

Ἰδοὺ νῦν, φωτοφόρος ἡμέρα ἀνατέταλκεν, ἡ τῶν Ὁσίων Μητέρων ἡμῶν, θεία μνήμη. Δεῦτε οὖν θεόφρονες, ἀγαλλομένῳ ποδί, σπεύσωμεν, ἵνα ἐνθέοις ὕμνοις, ταύτας ἀξίως τιμήσωμεν, ἐκμιμούμενοι αὐτῶν τὴν ἀκατάγνωστον πολιτείαν, καὶ θεοφιλῆ διαγωγήν, τὰς ἀρετὰς καὶ τὰ παλαίσματα, πόνους καὶ ἱδρῶτας, ὅτι ἐξιλέωσαν Θεὸν ἐν νηστείαις, καὶ δεήσεσι, ταπεινώσει, καὶ ἀγάπῃ, ὑπακοῇ καὶ σεμνότητι, καὶ πάσῃ τε ἄλλῃ ἀρετῇ, ἐξαιρέτως δὲ τῇ σωφροσύνῃ καὶ φιλαδελφείᾳ. Ὅθεν, πόθῳ, χαίροις Ἐμμέλεια κράξωμεν, σὺν θείᾳ Νόννῃ, Ἀνθοῦσα πανεύφημε.

*Συναξάριον.*

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ μετὰ τὴν Ὑπαπαντὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Θεοῦ, Μνήμη τῶν Ἁγίων Μητέρων τῶν Τριῶν Ἱεραρχῶν· Ἐμμελείας, Νόννης καὶ Ἀνθούσης.

*Μητέρων Ἁγίων τιμῶμεν μνήμην,*

*Ἐμμελείας, Νόννης τε καὶ Ἀνθούσης.*

*Τεσσαρακονθήμερον Βρέφος, σὺν Θεομήτορι, ἱλεοῦσιν.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ΄. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.*

Ὕμνοις τὴν σεμνὴν Ἐμμέλειαν, στέψωμεν φιλομήτορες, τὴν Μακρίναν τὴν Ὁσίαν ἐξανθήσασαν, νουθετοῦσαν εὐτάκτως, τῷ σοφῷ Βασιλείῳ, τοῦ μὴ κατόκνει καιρόν, ἀφιεροῦσθαι Θεῷ.

Μήτηρ Γοργονίας γέγονας, Νόννα καὶ Καισαρίου τε, σὺν φωστήρι Γρηγορίῳ θεοῤῥήμονι, τῆς Τριάδος τῷ μύστῃ· διό σοι μελῳδοῦμεν· ἡγιασμένη γαστήρ, ὡς τῆς μητρὸς Σαμουήλ.

Νίκης τροπαιοῦχα σύμβολα, ἔστησεν ὁ Χρυσόστομος, ὃν αἱρέσεων τὰ στίφη ἐξωστράκησαν,

ἐπεὶ ἤλεγχε πάντας, ὁ υἱὸς τῆς Ἀνθούσης· διὸ πιστοὶ ἐν ᾠδαῖς, ἀνευφημοῦμεν αὐτήν.

*Θεοτοκίον.*

Ὢ τῆς Μαριὰμ Θεόπαιδος, Τόκος σαρκωθησόμενος, ὡς Προφῆται θεοπνεύστως, προὐχαράξαντες, γραφίδι ἐκβοῶντες, ὡς ἐν καμίνῳ Παῖδες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*ᾨδὴ η΄. Ἀστέκτῳ πυρὶ ἑνωθέντες.*

Γυναίκαν ἀνδρεῖα τὶς εἶδε, Σολομὼν προέφη, σὲ Ἐμμέλεια δεικνύων, τοῖς υἱοῖς τε καὶ θυγατρᾶσι, πίστει ἀναθρέψασα, εὐσεβείας τρόποις, καὶ ἤθη διδάξασα, ἔλαμψας ἐν οἴκῳ, ὡς στήλη τῶν μητέρων.

Ἐφάνης πιστὴ θεία Νόννα, καὶ τοῦ Γρηγορίου ἱερέως ἡ συμβία, συνωνύμου τε, Γοργονίας, μήτηρ εὐσυμπάθητος, θρηνωδοῦσα τέκνον θανόντα Καισάριον, μητρικῷ τῷ φίλτρῳ, ἐδείχθης ἀνδρειόφρων.

Ὡραῖαν γυναῖκαν ὁρῶντες, οἱ Ἀντιοχείας προεστῶτες ἐν χηρείᾳ, ἐπεζήτουν γάμῳ δευτέρῳ, σὲ Ἀνθοῦσα λήψασθαι, ἀλλ’ ὡς χήρα, τέκνον τὸ σὸν πίστει ἔθρεψας, δοῦσα Ἰωάννην, φωστῆρα Ἐκκλησίας.

*Θεοτοκίον.*

Ῥιφθέντας εἰς βάραθρα κακίας, μὴ ἐγκαταλείψῃς δίχα σῆς ἐπικουρίας, Θεοτόκε σκέπη τοῦ κόσμου, πύλη ἡ σωτήριος, ἡ ἐλπὶς ἁπάντων ἀνθρώπων, καὶ κλίμαξ γῆς, ὡς Ἰακὼβ εἶδεν, εἰς ὕψος θείας δόξης.

*Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.*

Γαλήνης Ἐμμέλεια τύπος, ὤφθης κοπάσασα τοῦ βίου, τὸν σάλον θεαρέστῳ πολιτείᾳ, δόξαν τῷ Θεῷ, διδοῦσα ἀκαταπαύστως, συμβία πανευκλεής, ἡ τὸν Βασίλειον υἱόν, εὐσεβείᾳ ἀναθρέψασα.

Ἰάθης ὦ Νόννα ἐν θρήνοις, ὅτι Καισάριος προώρως, τὸ ζῆν ἀπέλιπε, φιλοσοφοῦσα· ὅθεν τοῖς λοιποῖς, δυσὶ τέκνοις προσεκολλήθης, στοργὴν δεικνῦσα αὐτοῖς, καὶ ἐξεπαίδευσας πιστῶς, Γοργονίαν καὶ Γρηγόριον.

Ὀπίσω Χριστοῦ τοῖς ἴχνεσιν, ἐπηκολούθησας ἀληθῶς Ἀνθοῦσα, ὅτε χῆρα ὡς νεάνις, ἔμεινας ἀνδρός, καὶ εἰς Χρυσόστομον πᾶσαν, ἀγάπην τὴν μητρικήν, δείξασα τῷ μονογενῆ, θεῖον κάλλος ἐγκαρδίωσας.

*Θεοτοκίον.*

Ὑψώθη ἐν Σοὶ Θεόνυμφε, κέρας ἡμῶν τῶν χριστιανῶν, τὸν Λόγον γὰρ Θεοῦ ἀποτεκοῦσα, ἔμεινας ἁγνή, ὡς πρὸ τοῦ Τόκου Παρθένος· διὸ ἐν ὕμνοις τερπνοῖς, ἀειμακάριστε πιστῶς, ἀνυμνοῦμεν καὶ δοξάζομεν.

*Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ οὐρανὸν ἐν τοῖς ἄστροις.*

Ἐν ἱερῷ ὁ Πρεσβύτης, ὑπήντησε Βρέφος Χριστόν, οἴκῳ Θεοῦ ἡμεῖς πάντες, ᾄσωμεν ὕμνοις καὶ ᾠδαῖς, τὰς ἀρετὰς Ἐμμελείας, Νόννης Ἀνθούσης ἀξίως.

*Ἕτερον.*

Ἐν προσευχαῖς ὦ Μητέρες, νηστείαις καὶ ὑπακοῇ, φιλοτεκνίᾳ ἀρίστῃ, ἐξιλεώσατε Θεόν, Ὃν ἐκτενῶς δυσωπεῖτε, ὑπὲρ τῶν ὑμᾶς ὑμνούντων.

*Θεοτοκίον.*

Εἶδε Μωσῆς ἐν Σιναίῳ, Βᾶτόν σε ἄφλεκτον ἁγνή, θαῦμα θαυμάτων δηλοῦσα, τὸ ἀειπάρθενον ἐν Σοί, ὡς πρὸ τοῦ Τόκου Παρθένος, ἐν τούτῳ μείνασα αὖθις.

*Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, Ἀναστάσιμα δ΄, τῆς Ὑπαπαντῆς β΄, καὶ τῶν Ἁγίων β΄. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε πιστοὶ συνελθόντες πανηγυρίσωμεν, Ἱεραρχῶν Μεγάλων, τῶν Μητέρων τὴν μνήμην, Ἁγίας Ἐμμελείας περιχαρῶς, τὴν Βασίλειον τέξασαν, τῆς Γρηγορίου τε Νόννης καὶ τῆς σεμνῆς, ἐξανθήσασαν Χρυσόστομον. *(Δίς)*

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ ἀγαλλόμενοι τῷ Πνεύματι ὑμνήσωμεν

μέλεσι θεοτέρποις, τὴν φωτοφόρον μνήμην, τῶν Ἁγίων Μητέρων τῶν Τριῶν Ἱεραρχῶν, ἐν ἐγκωμίοις λέγοντες· Χαίροις, ἡ τοῦ ἱερέως Βασιλείου σύνευνος, καὶ φιλόστοργος μήτηρ δέκα τέκων, Ἐμμέλεια πανσεβάσμιε, οἰκογενείας τὸ πρότυπον· χαίροις, ἡ τοῦ ἱεροῦ Γρηγορίου σεμνὴ συμβία, ἡ τέξασα τὸν δεύτερον Θεολόγον, σὺν Καισαρίῳ καὶ Γοργονίᾳ, Νόννα παμμακάριστε· χαίροις, ἡ τοῦ Σεκούνδου σωφρονεστάτη γυνή, ἡ τὸν Ἰωάννην τὸν Χρυσόστομον βλαστήσασα, καὶ Λιβανίῳ τῷ ῥήτορι, πρὸς παίδευσιν ἀγαγοῦσα, Ἀνθοῦσα θεῖον ἐγκαλλώπισμα. Ἀλλ’ ὦ Μητέρες, ἐπὶ υἱοῖς καὶ θυγατρᾶσιν, ὡς κατάκαρπος ἐλαία ἑκάστη εὐφραινομένη, αἱ τῇ συζυγικῇ τηρήσασαι πίστῃ, καὶ ἐργασάμεναι ἀόκνως, τὸ φιλότεκνον καὶ φιλάδελφον, καὶ πασῶν τῶν ἀρετῶν τὸ μέρρον, αἷς καὶ τοῖς τέκνοις πιστῶς μετεδώκατε, πρεσβεύσατε τῷ Σωτῆρι, ἐλεηθῆναι τὰς ψυχὰς τῶν ἐκτελούντων ὑμῶν τὰ μνημόσυνα.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε...

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάρια.*

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τὰς σεπτὰς Μητέρας, τῶν Μεγάλων Ἱεραρχῶν, Ἐμμέλειαν Νόνναν, καὶ τὴν σεμνὴν Ἀνθοῦσαν, βοῶντες ταύταις πίστει, ἔνθεοι χαίρετε.